μενοι ὀλίγοι ἐσμὲν ἐφ' ἃ δεῖ. Τί οὐ τοὺς Βουλγάρους μιμούμεθα, οἵπερ ἐντολεῦσί τισι γνωστοῖς ἀνέθηκαν πρὸ τριῶν ἐτῶν ἀνὰ τὰς Αὐλὰς μὲν καὶ τοὺς προθαλάμους τῶν Εὐρωπαϊκῶν Κυβερνείων παρίστασθαι, τὰς δὲ πρὸς τοὺς Βουλγάρους ἀδικίας χρώμασι μέλασιν εἰκονίζειν καὶ τυραννουμένους μὲν αὐτοὺς ὑφ' ἡμῶν ἐκτραγῳδεῖν, τὰ δὲ παθήματα αὐτῶν τὰ μύθοις ὅμοια διαθρυλεῖν καὶ τὴν Εὐρώπην ἅπασαν οὕτω παραπείθειν ὥστε ταύτην ἡγεῖσθαι τοὺς ἐκ Βουλγάρων παῖδας ἔθνος τι μέγα καὶ τῶν ἄλλων φυλῶν τῆς Ἀνατολῆς κρεῖττον εἶναι καὶ ἄξιον δοκεῖν τῶν ἀρχαιοτέρων καὶ ἱκανωτέρων ἐθνῶν κρατῆσαι;

Καὶ ἀποτέτραπται μὲν, εὖ οἶδα, ἡ Εὐρώπη τῆς εὐθείας οὐδὲ τολμᾷ νῦν τὰ δέοντα βουλεύσασθαι καὶ πρᾶξαι ἅμα ἅπαξ παριδοῦσα τοὺς καιροὺς ἐν οἷς ὤφειλεν ἀκραδάντους τιθέναι βάσεις τῇ Ἀνατολικῇ αὐτῆς πολιτείᾳ καὶ καθ' οὓς ἠδύνατο δι' ἐλαττόνων ἀγώνων ἀπαλλαγῆναι ὧν σήμερον ὑφίσταται δεινῶν. Ἀλλὰ καὶ ὡς ἔχουσιν οἱ καιροί, οὐκέτι πᾶσα ἐλπὶς ἀπώλετο τῆς ἐπὶ τὴν ὀρθὴν καὶ δικαίαν ὁδὸν ἐπαναστροφῆς εἴπερ ἡμεῖς σωφροσύνῃ τε χρώμεθα καὶ δεξιότητι καὶ τόλμῃ τῇ προσηκούσῃ. Τίς τῶν ταῦτα δὴ ἀναγινωσκόντων οὐκ ἔμαθεν ὅτι ὅτε ἡ τοῦ Ἁγίου Στεφάνου Συνθήκη πολλὰς καὶ περιφανεῖς Ἑλληνικὰς χώρας ἀφαιρουμένη ἡμᾶς παρεδίδω τοῖς ἀλλογενέσιν, αἱ κραταιαὶ ὀλίγων τινῶν φωναὶ ἐξήγειραν τοῦ ληθάργου τὴν ὑπὸ μανδραγόραν Εὐρώπην παρέσχον δὲ πολυτίμητον ἀφορμὴν καὶ ἰσχὺν τοῖς τὴν ἀδικίαν ἐκείνην βουλομένοις καταναστρέψαι; Καὶ ἐπαλινῴδησε μὲν μετ' οὐ πολὺ ὁ τοὐπίκλην Σαλισβουρίας μαρκήσιος πολλὰ κατὰ τοῦ ἔθνους ἡ-